Constantino.
Receud. 19. Aug.
43

κάλλιστε Κωνσταντῖνε,

Τὴν ἐπιστολήν σου, τὴν ἑλληνικωτάτην καὶ μάλα
θαυμαστὴν θαρσαλέος ὢν καὶ, μικροῦ, ἀπορηθεὶς —
ἐδεξάμην, μνήμων δὴ τῆς ἀμαθίας τῆς ἐμῆς
ὅτε εἰς ταύτην τὴν, ἡλικίαν ἐλθὼν ~~[illegible]~~ μόλις ~~γε~~ δὲ ~~[illegible]~~
τῆς ἀναγνώσεως, τῆς ἑλληνικῆς εἰδώς, περὶ τῆς
γραφῆς οὔτε καθ' ὕπνον τινὰ ἐνοήκειν. λογίζομαι
δὲ ταύτην τὴν αἰσχύνην μοι ἐν χώρᾳ δόξης
~~[illegible]~~ οὐκ ἐλαχίστης. καὶ γὰρ ὁποσοσδήποτε
γέγονας, ἐκ τῶν μαθητῶν μου, εἰ, οὓς ὅταν ~~[illegible]~~
ἐγὼ καὶ ἀδελφοὺς ὑπὲρ ἐμαυτὸν σεσοφισμένους
αἰσθάνομαι, ἴσθι με μεγάλην τινὰ ἥδεσθαι ἡδονὴν.
ἣν μοι ἵνα πολλάκις ἀποδίδοις, παμπόλλαις
με καὶ ποικίλων ἰδιωμάτων γράμμασιν ἐνάλησον.
καὶ ἔρρωσο, φίλτατον κάρα. ~~Ἐν~~ Ἀπὸ τῆς παρεμβολῆς
τῆς ἐν Ἀσσενέδῃ. τῇ ιθ. τοῦ μηνὸς ~~Δεκ~~ Αὐγούστου CIↃIↃCXLIII.

ὁ σὲ πολὺ μᾶλλον ἢ ~~[illegible]~~
ἑαυτὸν φιλῶν παῖς,
Κωνσταντῖνος Ὑγένιος.